**ΗΕΛΚΤΡΑ**

*Αἰσχύνομαι μέν, ὦ γυναῖκες, εἰ δοκῶ*
*πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν.*
*ἀλλ᾽ ἡ βία γὰρ ταῦτ᾽ ἀναγκάζει με δρᾶν,*
*σύγγνωτε: πῶς γὰρ ἥτις εὐγενὴς γυνή,*
*πατρῷ᾽ ὁρῶσα πήματ᾽, οὐ δρῴη τάδ᾽ ἄν;*
*ἁγὼ κατ᾽ ἦμαρ καὶ κατ᾽ εὐφρόνην ἀεὶ*
*θάλλοντα μᾶλλον ἢ καταφθίνονθ᾽ ὁρῶ·*
*ᾗ πρῶτα μὲν τὰ μητρός, ἥ μ᾽ ἐγείνατο,*
*ἔχθιστα συμβέβηκεν· εἶτα δώμασιν*
*ἐν τοῖς ἐμαυτῆς τοῖς φονεῦσι τοῦ πατρὸς*
*ξύνειμι, κἀκ τῶνδ᾽ ἄρχομαι κἀκ τῶνδέ μοι*
*λαβεῖν θ᾽ ὁμοίως καὶ τὸ τητᾶσθαι πέλει.*
*ἔπειτα ποίας ἡμέρας δοκεῖς μ᾽ ἄγειν,*
*ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ᾽ ἴδω*
*τοῖσιν πατρῴοις, εἰσίδω δ᾽ ἐσθήματα*
*φοροῦντ᾽ ἐκείνῳ ταὐτὰ καὶ παρεστίους*
*σπένδοντα λοιβὰς ἔνθ᾽ ἐκεῖνον ὤλεσεν,*
*ἴδω δὲ τούτων τὴν τελευταίαν ὕβριν,*
*τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς*
*ξὺν τῇ ταλαίνῃ μητρί, μητέρ᾽ εἰ χρεὼν*
*ταύτην προσαυδᾶν τῷδε συγκοιμωμένην·*
*ἡ δ᾽ ὧδε τλήμων ὥστε τῷ μιάστορι*
*ξύνεστ᾽, ἐρινὺν οὔτιν᾽ ἐκφοβουμένη·*
*ἀλλ᾽ ὥσπερ ἐγγελῶσα τοῖς ποιουμένοις,*
*εὑροῦσ᾽ ἐκείνην ἡμέραν, ἐν ᾗ τότε*
*πατέρα τὸν ἁμὸν ἐκ δόλου κατέκτανεν,*
*ταύτῃ χοροὺς ἵστησι καὶ μηλοσφαγεῖ*
*θεοῖσιν ἔμμην᾽ ἱερὰ τοῖς σωτηρίοις.*